# 92. WHO IS THE GREATEST? (Mk-Lk Identicals)

| Mark 9:33-37 | Luke 9:46-48 |
|---|---|
| Καὶ ἦλθον εἰς Καφαρναούμ. | |
| καὶ ἐν τῇ οἰκίᾳ γενόμενος | |
| ἐπηρώτα αὐτούς, Τί ἐν τῇ ὁδῷ διελογίζεσθε 34 οἱ δὲ ἐσιώπων, πρὸς ἀλλήλους | |
| γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ | Εἰσῆλθεν δὲ διαλογισμὸς ἐν αὐτοῖς, |
| τίς μείζων. | τὸ τίς ἂν εἴη μείζων αὐτῶν. |
| | 47 ὁ δὲ Ἰησοῦς εἰδὼς τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν |
| 35 καὶ καθίσας ἐφώνησεν τοὺς δώδεκα καὶ λέγει αὐτοῖς, Εἴ τις θέλει πρῶτος εἶναι ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος. | |
| 36 καὶ λαβὼν | ἐπιλαβόμενος |
| παιδίον | παιδίον |
| ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν | ἔστησεν αὐτὸ παρ ἑαυτῷ, |
| καὶ ἐναγκαλισάμενος αὐτὸ | 48 καὶ |
| εἶπεν αὐτοῖς, | εἶπεν αὐτοῖς, |
| 37 Ὃς ἂν | Ὃς ἐὰν |
| ἓν τῶν τοιούτων παιδίων δέξηται | δέξηται τοῦτο τὸ παιδίον |
| ἐπὶ τῷ ὀνόματί μου, | ἐπὶ τῷ ὀνόματί μου |
| ἐμὲ δέχεται· | ἐμὲ δέχεται, |
| καὶ ὃς ἂν ἐμὲ δέχηται, | καὶ ὃς ἂν ἐμὲ δέξηται |
| οὐκ ἐμὲ δέχεται | δέχεται |
| ἀλλὰ τὸν ἀποστείλαντά με. | τὸν ἀποστείλαντά με· |
| | ὁ γὰρ μικρότερος ἐν πᾶσιν |
| | ὑμῖν ὑπάρχων οὗτός ἐστιν μέγας. |

52 words out of 143 words = 36%